www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ
## ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
# ΥΠΑΤΙΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΓΑΓΓΡΩΝ
## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΛΑ΄ ΜΑΡΤΙΟΥ



www.tezaurliturgic.ro

Μαρτίου λα΄.

Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Ὑπατίου Ἐπισκόπου Γαγγρῶν.

* * *

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

Ἱστῶμεν Στίχους δ΄, καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος πλ.β΄. Αἱ Ἀγγελικαί.

Ἔχων ἐκ παιδός, θεῖον φόβον ἐν καρδίᾳ, βίον καθαρόν, θεοφρόνως ἐβιώσω, καί πλήρης χαρισμάτων, γεγονώς θείου Πνεύματος, ὤφθης μιμητής τῶν Ἀποστόλων, καί εὐσεβείας ὑποφήτης, ὡς ἀληθῶς ἔνθεος· διό Ὑπάτιε Θεός λαμπρῶς σε ἐδόξασε.

Ψήφῳ θεϊκῇ, Ἱεράρχης θεοφόρος, καί ἱερουργός, ἱερός τῶν μυστηρίων, τῆς χάριτος ἐδείχθης, καί ποιμήν ἐνθεώτατος, τῶν Γαγγρῶν Ὑπάτιε παμμάκαρ, μαρτυρικῷ δέ τέλει Πάτερ, ὡς θῦμα ἄμωμον, καί ὁλοκάρπωμα δεκτόν, Χριστῷ προσενήνεξαι.

Λόγῳ ἱερῷ, τόν λαόν Κυρίου ἄγων, ἐπί τάς νομάς, σωτηρίων ἐνταλμάτων, θαυμάτων διαλάμπεις Ἱεράρχα δυνάμεσι, καί Ὀρθοδοξίας ὤφθης στῦλος, αἱρετικῶν τάς φληναφίας, ἐλέγχων Ὅσιε, καί ἐναρέτου ἀγωγῆς, προφαίνων τάς χάριτας.

Σάλπιγξ ἱερῶν, διδαγμάτων σοῦ ἡ γλῶσσα, ὤφθη ἀληθῶς, τῇ τοῦ Πνεύματος δυνάμει· ἐντεῦθεν βασιλεῦσι περιβόητος γέγονας, παραδόξων ἔργων ἐνεργείαις, ὡς τοῦ Χριστοῦ πιστός θεράπων, Πάτερ Ὑπάτιε· διό γεραίρομεν πιστῶς, τήν πάνσεπτον μνήμην σου.

Δόξα. Ἦχος α΄.

Τῷ θείῳ λόγῳ τόν νοῦν κατευθύνων, σαρκός ἐνέκρωσας τό φρόνημα, καί ἐνεργείας τῆς χάριτος, ὄργανον θεόπνευστον, ἐχρημάτισας Ὅσιε· καί θεοπρεπῶς Χριστῷ ἱερατεύσας, ὡς εὐσεβείας διδάσκαλος, ἀθλητικῷ αἵματι ἐφοίνιξας, ἱεραρχίας τήν στολήν, παμμάκαρ Ὑπάτιε· καί νῦν

www.tezaurliturgic.ro


πρόσωπον πρός πρόσωπον, Χριστόν ὁρῶν καί ὁρώμενος, ἀδιαλείπτως πρέσβευε, ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Οἶκος τοῦ παντουργοῦ, Πνεύματος ἀνεδείχθης,ὡς θεῖος Ἱεράρχης, Ὑπάτιε θεόφρον, καί Μάρτυς ἐνθεώτατος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Θείαις σου διδαχαῖς, τήν τοῦ Ναυάτου πλάνην, Ὑπάτιε ἐλέγχων, χερσί μιαιφονούντων, μαρτυρικῶς ἀνῄρησαι.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Θαύμασι δοξασθείς, ὡς θεῖος Ἱεράρχης, Ὑπάτιε τρισμάκαρ, ἀθλητικῷ ἐστέφθης, ἐν τέλει διαδήματι.

Δόξα. Τριαδικόν.

Σύνθρονον τῷ Πατρί, καί Πνεύματι κηρύττων, τόν Λόγον Ἱεράρχα, κατῄσχυνας Ἀρείου, Ὑπάτιε τήν αἵρεσιν.

Καί νῦν. Θεοτοκίον.

Χαίροις ἡ τόν Θεόν,ἀφράστως τετοκυῖα, τόν λύσαντα τήν πάλαι, κατάραν Θεοτόκε, οἰκείᾳ ἀγαθότητι.

Νῦν ἀπολύεις, τό Τρισάγιον,τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί Ἀπόλυσις.

www.tezaurliturgic.ro



Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετά τόν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δέ τό, Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους στ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πάτερ Ὑπάτιε Θεῷ, σεαυτόν ἀνέθηκας, ἀπό παιδός καί τοῦ Πνεύματος, σκεῦος γενόμενος, θεῖος Ἱεράρχης, καί ποιμήν θεόληπτος, καί μάρτυς ἀληθείας περίδοξος, ὤφθης μακάριε· διά τοῦτο ὡς Τριάδος σε, θεηγόρον, τιμῶμεν θεράποντα.

Πάτερ Ὑπάτιε Γαγγρῶν, ποιμενάρχης ὅσιος, τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος, ὤφθης μακάριε· καί καλῶς ποιμάνας, τόν λαόν σου Ἅγιε, ἐν θαύμασι καί θείοις διδάγμασι, Μαρτύρων ἄθλησιν, διανύεις ἀνδρικώτατα, καί στεφάνοις, διπλοῖς κεκαλλώπισαι.

Πάτερ Ὑπάτιε Χριστοῦ, τήν ὑπέρ κατάληψιν, κηρύττων κένωσιν Ὅσιε, Ἀρείου ᾔσχυνας, τάς ἐρεσχελίας, καί Ναυάτου ἤλεγξας, ὀθνείαν διδαχήν θείῳ λόγῳ σου· διό τιμῶμέν σε, ὡς ποιμένα καί διδάσκαλον, Ἐκκλησίας, καί Μαρτύρων σύνθρονον.

Προσόμοια ἕτερα. Ἦχος β'. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τόν Ἱεράρχην; τῶν Γαγγρῶν ποιμένα τόν ἔνθεον, καί τῶν Ἀποστόλων ὁμότροπον· τῆς Ὀρθοδοξίας τόν φωστῆρα· τό στόμα, ὀρθῶν δογμάτων τό θεόληπτον· τήν κρήνην, πολλῶν θαυμάτων τήν θεόβρυτον· τῶν ἀρετῶν τό ταμεῖον· τοῦ φωτός τοῦ θείου, τόν λαμπτῆρα τόν φαεινόν, Χριστοῦ τόν θεράποντα, τόν θεόσοφον Ὑπάτιον.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τόν Ἱεράρχην; τόν ἐν Ἱεράρχαις περίδοξον, καί ἐν ἀθληταῖς περιβόητον, ὡς ἐν ἀμφοτέροις δοξασθέντα· τό σκεῦος, τοῦ Παρακλήτου τό πολύτιμον· τόν λύχνον, τόν διαλάμποντα τοῖς θαύμασι, καί διαλύοντα ζόφον, δεινῶν παθημάτων, καί αἱρέσεων ζοφερῶν, τόν μέγαν Ὑπάτιον, τόν ἡμᾶς Χριστῷ προσάγοντα.

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τόν Ἱεράρχην; τόν τῆς εὐσεβείας διδάσκαλον, καί αἱρετικῶν τόν ἀντίπαλον· τοῦ Εὐαγγελίου τόν ἐργάτην· Ἀρείου, τόν καθελόντα τά διδάγματα· Ναυάτου, τόν καταρ-

www.tezaurliturgic.ro


γήσαντα τήν ἄνοιαν˙ τόν δι᾽οἰκείων αἱμάτων, εἰσελθόντα ἤδη, εἰς τήν δόξαν τῶν οὐρανῶν, τόν θεῖον ῾Υπάτιον, τόν ἡμᾶς Χριστῷ προσάγοντα.

Δόξα. Ἦχος πλ. δ΄.

Θεοπρεπεῖ πολιτείᾳ ἐμπρέπων, ἱερωσύνης ἐτελέσθης τῇ δωρεᾷ, ὡς σκεῦος ἐπάξιον,῾Ιεράρχα ῾Υπάτιε˙ ὅλη γάρ καρδίᾳ, τῇ θείᾳ εὐδοκίᾳ,τοῦ Εὐαγγελίου τῆς χάριτος, ἱερουργός ὤφθης πρακτικώτατος, λόγῳ καί ἔργῳ βεβαιῶν, τόν περιούσιον λαόν μακάριε˙ καί τάς ὀθνείας διδαχάς, ἀνα - σπῶν ριζόθεν,μαρτυρικῷ αἵματι, τῆς ἀληθείας τό κράτος ἐλάμπρυνας.Καί νῦν ῾Ιερομάρτυς ἔνδοξε, τῷ Βασιλεῖ τῆς δόξης παριστάμενος ἀεί, πρέσβευε ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν.῾Ο αὐτός.

῾Ο Βασιλεύς τῶν οὐρανῶν, διά φιλανθρωπίαν, ἐπί τῆς γῆς ὤφθη, καί τοῖς ἀνθρώποις συνανεστράφη˙ ἐκ Παρθένου γάρ ῾Αγνῆς, σάρκα προσλαβόμενος, καί ἐκ ταύτης προελθών, μετά τῆς προσλήψεως, εἷς ἐστιν Υἱός διπλοῦς τήν φύσιν, ἀλλ᾽οὐ τήν ὑπόστασιν˙ διό τέλειον αὐτόν Θεόν, καί τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστόν τόν Θεόν ἡμῶν˙ ὅν ἱκέτευε Μῆτερ ᾽Ανύμφευτε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας,καί τά ᾽Αναγνώσματα.

Παροιμιῶν τό ᾽Ανάγνωσμα.
(κεφ.10,7˙3,13)

Μνήμη δικαίου μετ᾽ἐγκωμίων, καί εὐλογία Κυρίου ἐπί κεφαλήν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὅς εὗρε σοφίαν, καί θνητός, ὅς εἶδε φρόνησιν. Κρεῖσσον γάρ αὐτήν ἐμπορεύεσθαι, ἤ χρυσίου καί ἀργυρίου θησαυρούς.Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν˙ οὐκ ἀντιτάσσεται αὐτῇ οὐδέν πονηρόν˙ εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν˙ πᾶν δέ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. ᾽Εκ γάρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη,νόμον δέ καί ἔλεον ἐπί γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου,ὦ τέκνα,σεμνά γάρ ἐρῶ˙ καί μακάριος ἄνθρωπος, ὅς τάς ἐμάς ὁδούς φυλάξει. Αἱ γάρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καί ἑτοιμάζεται θέλησις παρά Κυρίου. Διά τοῦτο παρακαλῶ ὑμᾶς, καί προΐεμαι ἐμήν φωνήν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγώ ἡ Σοφία κατεσκεύασα βουλήν καί γνῶσιν καί ἔννοιαν, ἐγώ ἐπεκαλεσάμην.᾽Εμή βουλή καί ἀσφάλεια, ἐμή φρόνησις, ἐμή δέ ἰσχύς. ᾽Εγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν

www.tezaurliturgic.ro



ἄκακοι πανουργίαν, οἱ δέ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καί πάλιν· σεμνά γάρ ἐρῶ, καί ἀνοίγω ἀπό χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δέ ἐναντίον μου χείλη ψευδῆ. Μετά δικαιοσύνης πάντα ρήματα τοῦ στόματός μου· οὐδέν ἐν αὐτοῖς σκολιόν, οὐδέ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστί τοῖς νοοῦσι, καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπίς ὑμῶν, καί πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τό Ἀνάγνωσμα.
(κεφ.10,31·11,1)

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δέ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δέ ἀσεβῶν καταστρέφεται. Ζυγοί δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δέ δίκαιον δεκτόν αὐτῷ. Οὗ ἐάν εἰσέλθῃ ὕβρις, ἐκεῖ καί ἀτιμία· στόμα δέ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καί ὑποσκελισμός ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δέ ρύσεται ἐκ θανάτου. Ἀποθανών δίκαιος, ἔλιπεν μετάμελον· πρόχειρος δέ γίνεται καί ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δέ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ρύσεται αὐτούς, τῇ δέ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρός δικαίου, οὐκ ὄλλυται ἐλπίς· τό δέ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δέ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγίς πολίταις, αἴσθησις δέ δικαίοις εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καί ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δέ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεής φρενῶν, ἀνήρ δέ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.
(κεφ. 3,1)

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς, ἀξίους ἑαυτοῦ.

Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

www.tezaurliturgic.ro



ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἱερομάρτυς Ὑπάτιε, τῶν ἀρετῶν δοχεῖον γενόμενος, τῆς ἐν Γάγγραις ἁγίας Ἐκκλησίας, Εὐαγγελικῶς προέστης, ὡς πλήρης θείας ἐλλάμψεως· καί Ἀποστολικοῖς χαρίσμασιν ἐκλάμπων, θαυμάτων ὤφθης αὐτουργός, καί ψυχῶν φωταγωγός, καί αἱρετικῶν διώκτης ἰσχυρότατος· τῷ γάρ πυρί τῆς χάριτος, τά ζιζάνια τούτων ἠνάλωσας, ὡς Ἠλίας ὁ ζηλωτής· καί μαρτυρικῶς Θεῷ ἐκδημήσας, ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν τιμώντων σε.

Ἦχος β΄.

Εὐαγγελικαῖς κοσμούμενος πράξεσιν, Ἱεράρχης ὅσιος καί ἄκακος, κατά Παῦλον ὤφθης, καί μαθητής Χριστοῦ γνησιώτατος, θεοφόρε Ὑπάτιε· ἡγνισμένῳ γάρ νοΐ, Θεῷ ἱεράτευσας, καί οἰκείῳ ὑποδείγματι, τήν σήν ποίμνην ἐπαίδευσας, τά ἄνω φρονεῖν καί ζητεῖν· καί πρός αἱρετικάς γλωσσαλγίας, μέχρις αἵματος ἀνταγωνιζόμενος, ἀθλητικῇ ἐνστάσει, τούτων τήν πλάνην ἐθριάμβευσας· νῦν δέ τά ἄνω περιπολεύων, Χριστόν καθικέτευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τῷ φωτί τῶν λόγων σου, τῶν παθῶν λύων τήν ὁμίχλην, θαυμάτων δυνάμεσι, τῶν διδαχῶν ἐκφαίνεις τήν λαμπρότητα, Ἱερομύστα Ὑπάτιε· δαψιλῶς γάρ ἐκκέχυται, ἡ τοῦ Πνεύματος χάρις τοῖς χείλεσί σου, καί θαυμαστόν σε πᾶσι καί αἰδέσιμον, τοῖς ἐγγύς καί πόρρω ἀνέδειξεν· πανταχοῦ γάρ ἐξελήλυθε, τῶν προτερημάτων σου ὁ φθόγγος, Ὅσιε Πάτερ καί πάντας ἐδίδαξεν, εἰς Τριάδα πιστεύειν ὁμοούσιον, ἐν μιᾷ Θεότητι· ᾗ πρέσβευε δεόμεθα, τυχεῖν καί ἡμᾶς θείας ἐλλάμψεως.

Ἦχος δ΄.

Τοῦ μυστικοῦ ἀμπελῶνος, ἐργάτης δόκιμος γενόμενος, δαψιλῆ καρποφορίαν Χριστῷ προσήγαγες, Ἱεράρχα καί Μάρτυς Ὑπάτιε· ὡς γάρ θεῖος

www.tezaurliturgic.ro



ἱερεύς, ἐν δικαιοσύνῃ καί ἀληθείᾳ, Χριστῷ ἱεράτευσας· ὡς δέ Μάρτυς τῶν παθῶν αὐτοῦ, αἱρετικήν καθεῖλες παράνοιαν· καί καλῶς ἀγωνισάμενος, τό βραβεῖον τῆς νίκης παρά Χριστοῦ ἐδέξω, αἰτούμενος ἡμῖν τό θεῖον ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τόν Ἱεράρχην τοῦ Χριστοῦ, τόν οἰκείῳ αἵματι, τῆς Ὀρθοδοξίας τό κράτος σφραγίσαντα, Ὑπάτιον τόν μέγαν, τῶν εὐσεβούντων οἱ δῆμοι, μελῳδικῶς ἀνυμνήσωμεν· Ἀποστολικῶς γάρ ποιμαίνων, τήν Ἐκκλησίαν τοῦ Θεοῦ, αἱρετικῶν τήν δυσσέβειαν κατηγωνίσατο, μιαιφόνῳ γνώμῃ, ὑπ᾽αὐτῶν ἀναιρούμενος· καί δι᾽ἀμφοτέρων Χριστόν δοξάσας, ἐπαξίως δεδόξασται, ἐν τῇ οὐρανίῳ δόξῃ, ἡμῖν δέ αἰτεῖται, εἰρήνην καί φωτισμόν, καί πταισμάτων τήν συγχώρησιν.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τῶν Γαγγρῶν θεοειδέστατος πρόεδρος, ὁ στῦλος τῆς Ἐκκλησίας, Ὀρθοδοξίας λαμπτήρ, τῶν αἱρετιζόντων σφοδρός ἔλεγχος, Ὑπάτιε Ὅσιε, Ἀποστόλων ὁμόζηλε, τοῦ Παρακλήτου, εὐηχέστατον ὄργανον, βίου κρείττονος, γεωργός καί διδάσκαλος· τύπος ὁ τῆς πραότητος, ἀγάπης τό σκήνωμα, τῆς ταπεινώσεως ὕψος, Ἱεραρχῶν τό κειμήλιον. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ἀρχιερέων ἱερόν ἐγκαλλώπισμα, καί δόξα τῶν Ἀθλοφόρων· ἐν ἀμφοτέροις καί γάρ, διαλάμψας γέρας διπλοῦν εἴληφας· σοφῶς τήν Ναυάτου γάρ, διελέγχων ἀπόνοιαν, ὑπ᾽αὐτῶν Πάτερ, ὡς ἀρνίον πραότατον, λίθοις βέβλησαι, καί ἐκτάνθης εὐχόμενος. Ὅθεν Ἱερομάρτυρα, ὡς θεῖον τιμῶμέν σε, καί πρεσβευτήν ἡμῶν μέγαν, πρός τόν Σωτῆρα Ὑπάτιε· ᾧ πρέσβευε πᾶσι, τοῖς ὑμνοῦσί σε διδόναι, τό θεῖον ἔλεος.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

www.tezaurliturgic.ro



Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ βασιλεῦσι καί τοῖς πᾶσιν αἰδέσιμος, λαμπρότητι πολιτείας, καί τῶν θαυμάτων φωτί, καί λοιποῖς σου Πάτερ προτερήμασιν· ἐντεῦθεν ἐνέκρωσας, παραδόξως τόν δράκοντα, τόν ἐν ταμείοις, βασιλέων φωλεύοντα, καί ἐξέπληξας, τούς πιστούς τοῖς σοῖς θαύμασιν. Ὅθεν ὡς Ἱεράρχην σε, καί Μάρτυρα ἔνδοξον, καί τῶν ψυχῶν οἰκονόμον, ἀνευφημοῦμεν Ὑπάτιε, Χριστόν δυσωποῦντα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Δόξα. Ἦχος β'.

Ἱεραρχίας τήν στολήν ἐνδυσάμενος, ἐν Ἱεράρχαις ὤφθης περιφανής, γεωργίᾳ τοῦ κρείττονος, ὡς τῶν ἀρρήτων μυσταγωγός, Ἱεράρχα Ὑπάτιε· καί μαρτυρικῶς τελέσας τόν δρόμον, τῆς Ἐκκλησίας καταισχύνεις τούς ἐχθρούς, τῷ ἐν σοί τῆς ἀληθείας θησαυρῷ, καί ψυχικῇ στερρότητι· διό λαμπρῶς δεδόξασαι, Ἱερομάρτυς ἀξιάγαστε.

Καί νῦν. Θεοτοκίον.

Τήν πᾶσαν ἐλπίδα μου...

Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τά Ἀπολυτίκια.

Ἦχος δ'. Ταχύ προκατάλαβε.

Ὁσίως ἱεράτευσας, τῷ ἐπί πάντων Θεῷ, καί πρόεδρος ἔνθεος, τῆς Ἐκκλησίας Γαγγρῶν, ἐδείχθης Ὑπάτιε· σύ γάρ αἱρετιζόντων, διελέγξας τήν πλάνην, ἤθλησας Ἱεράρχα, ὑπέρ τῆς ἀληθείας. Καί νῦν Ἱερομάρτυς Χριστόν ἡμῖν ἱλέωσαι.

Ἕτερον. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Ἀρετῶν διαλάμπων τοῖς κατορθώμασι, τῶν θαυμάτων θεόθεν τήν χάριν εἴληφας, Ἱεράρχα τοῦ Χριστοῦ Πάτερ Ὑπάτιε, καί Μαρτύρων κοινωνός, ὡς ἀθλήσας γεγονώς, δυσώπει Ἱερομάρτυς, ὑπέρ τῶν πίστει τιμώντων, τήν μακαρίαν σου ἄθλησιν.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

****

www.tezaurliturgic.ro



Εἰς τόν Ὄρθρον.

Μετά τήν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τόν τάφον σου Σωτήρ.

Ποιμήν θεοειδής, καί σοφός Ἱεράρχης, καί Μάρτυς ἀληθής, τῶν Χριστοῦ παθημάτων, Ὑπάτιε μακάριε, ἀνεδείχθης ἐν Πνεύματι. Ὅθεν σήμερον, τήν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, τῶν ἀρετῶν σου τῷ φέγγει, ψυχάς φωτιζόμεθα.

Θεοτοκίον.

Σαρκί ὑπέρ ἡμῶν, τόν Θεόν τῶν ἁπάντων, κυήσασα Ἁγνή, ὑπέρ νοῦν τε καί λόγον, φθορᾶς ἀπηλευθέρωσας, τῶν ἀνθρώπων τό φύραμα· ὅθεν Ἄχραντε, ὡς σωτηρίας σε πύλην, μεγαλύνομεν, καί τῇ θερμῇ σου πρεσβείᾳ, ἀεί καταφεύγομεν.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος γ'. Θείας πίστεως.

Θείαν δύναμιν, ἐνδεδυμένος, ποιμήν ἄριστος, Γαγγρῶν ἐδείχθης, καί εὐσεβείας ὑποφήτης Ὑπάτιε· θαυματουργῶν δέ τῷ λόγῳ τῆς χάριτος, μαρτυρικῶς πρός Χριστόν ἐξεδήμησας. Ὅν ἱκέτευε, δοθῆναι τοῖς σέ γεραίρουσι, πταισμάτων ἱλασμόν καί θεῖον ἔλεος.

Θεοτοκίον.

Στάμνος πάγχρυσος, τοῦ θείου μάννα, τοῦ παρέχοντος, ζωήν τῷ κόσμῳ, ἀνεδείχθης Θεοτόκε Πανύμνητε· τόν γάρ Θεόν ἀπορρήτως κυήσασα, πηγήν χαρίτων βλυστάνεις τοῖς κράζουσι· χαῖρε Πάναγνε, Ἀγγέλων τό ἀγαλλίαμα, καί πάντων τῶν ἀνθρώπων καταφύγιον.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.

Τῷ Κυρίῳ ἀμέμπτως ἱερουργῶν, ὡς πιστός Ἱεράρχης καί ἱερός, Τριάδα ἐκήρυξας, ἐν μιᾷ τῇ θεότητι, καί τῶν αἱρετιζόντων, καθεῖλες τό φρύαγμα, καί μαρτυρίου Πάτερ, ποτήριον ἔπιες· ὅθεν ἐπαξίων, κοινωνήσας ἐπάθλων, παρέχεις τοῖς χρῄζουσι, τήν θερμήν σου ἀντίληψιν, Ἱερομάρτυς Ὑπάτιε, πρεσβεύων ἐκτενῶς Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τήν ἁγίαν γαστέρα σου καί ἁγνήν, ὡς εὐρύχωρον σκήνωμα ὁ Θεός, οἰκήσας σεσάρκωται, ἐξ ἀχράντων αἱμάτων σου, καί οὐρανόν σε ἄλλον , ἀνέδειξεν Ἄχραντε, πρός οὐρανόν ἀνάγων, τούς σέ μεγαλύνοντας· ὅθεν ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, καί πύλην οὐράνιον, καί πηγήν ἁγιάσματος, ἀνυμνοῦντες βοῶμέν σοι· χαῖρε Θεοτόκε Ἁγνή, μυροθήκη τοῦ Ἁγίου Πνεύματος, ἡ παθῶν δυσωδίαν, ἐξ ἡμῶν διώκουσα.

Τό Α' Ἀντίφωνον τοῦ α' ἤχου καί τό Προκείμενον.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον τό ἐν τῷ ὄρθρῳ τοῦ Ἁγ.Χρυσοστόμου,ιγ' Νοεμβρίου.

Ὁ Ν' Ψαλμός. Δόξα.Ταῖς τοῦ Ἱεράρχου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...

Τῶν ἐντολῶν τῶν θείων, γεωργῶν τόν σπόρον, πολύχουν καρπόν ἀπέδωκας, τῷ γεωργῷ τῶν ψυχῶν, παμμάκαρ Ὑπάτιε· ἐν Ἱερεῦσι γάρ σοφῶς διέπρεψας, τῶν ζιζανίων καθάρας, τόν ἀγρόν τῆς πίστεως, καί ἐν Μάρτυσιν ἐδοξάσθης, τοῦ Κυρίου τά στίγματα, τῷ σώματί σου βαστάσας· καί νῦν τῆς δόξης αὐτοῦ κατατρυφῶν, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τούς σέ μακαρίζοντας.

Σῶσον ὁ Θεός τόν λαόν σου...

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

"Τῷ Ὑπατίῳ ὕμνον ὑφαίνω.Γερασίμου"

ᾨδή α'. Ἦχος α'. ᾨδήν ἐπινίκιον.

Ταῖς θείαις ἐλλάμψεσι, διηυγασμένος, τόν νοῦν μου καταύγασον, φέγγει τῆς χάριτος, Ὑπάτιε ἱερέ, ὅπως ὑμνήσω τήν σεπτήν, καί θείαν μνήμην σου.

Ὡς ἥλιος ἔλαμψας, τῇ Ἐκκλησίᾳ, Γαγγρῶν θεῖος πρόεδρος, Πάτερ γενόμενος, καί ἀρετῶν τῷ φωτί, αἱρετιζόντων τήν ἀχλύν, πᾶσαν διέλυσας.

Ὑπάρχων ἀνάπλεως, τῶν χαρισμάτων, Ὑπάτιε Ὅσιε, Ἁγίου Πνεύματος, θαυματουργεῖς ὑπέρ νοῦν, εἰς σωτηρίαν τῶν πιστῶς, προσανεχόντων σοι.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Πηγή χαριτόβρυτε, ζωῆς ἀλήκτου, Χριστόν ἡ κυήσασα,τόν πάντων Κύριον,Θεογεννῆτορ 'Αγνή,κυριευθέντα με πολλοῖς, πάθεσι κάθαρον.

'Ωδή γ'. Στερεωθήτω ἡ καρδία μου.

'Από νεότητος ἠγάπησας, ὅλῃ τῇ καρδίᾳ τόν Κύριον,καί λαμπρυνθείς ταῖς ἀρεταῖς,'Ιεράρχης θεόληπτος, ἀναδέδειξαι 'Υπάτιε,τῷ μύρῳ τοῦ Πνεύματος.

Τῆς 'Εκκλησίας ποιμήν ἄριστος,τῆς ἐν Γάγγραις Πάτερ γενόμενος, ἐπί νομάς τῶν ἐντολῶν, τοῦ Θεοῦ καθωδήγησας, οὕς ὁ Κύριος ὠνήσατο,τῷ ἰδίῳ αἵματι.

'Ισχύν τήν θείαν ἐνδυσάμενος, οἷα ἱερεύς ἐνθεώτατος, δράκοντα κτείνεις φοβερόν, καί τοῖς πᾶσιν αἰδέσιμος, βασιλεῦσί τε καί ἄρχουσι, 'Υπάτιε πέφηνας.

Θεοτοκίον.

'Ως θεοδόχος θρόνος Δέσποινα,φέρεις ταῖς ἁγίαις ἀγκάλαις σου, τόν Βασιλέα καί Θεόν, ὅν ἀφράστως ἐκύησας· ὅθεν ῥῦσαι δυναστείας με, τοῦ χείρονος δέομαι.

Κάθισμα. Ἦχος πλ.α'. Τόν συνάναρχον Λόγον.

Τῇ σοφίᾳ τῇ θείᾳ καλλωπιζόμενος, 'Ορθοδόξων δογμάτων ὑφηγητής ἱερός, ἀνεδείχθης ἀληθῶς Πάτερ 'Υπάτιε· καί Μαρτύρων κοινωνός, ὡς ἀθλήσας ἀνδρικῶς,γενόμενος 'Ιεράρχα, καθικετεύεις ἀπαύστως, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Θεοτοκίον.

Τόν Σωτῆρα τῶν ὅλων Παρθένε τέτοκας,τόν ἀνασώσαντα κόσμον ἐκ τῆς ἀρχαίας ἀρᾶς, καί ὑψώσαντα ἡμᾶς πρός τά οὐράνια,τήν πεσοῦσάν μου ψυχήν,ἀνύψωσον ἐκ τῆς φθορᾶς, καί σῶσόν με Θεοτόκε· ὅτι ἐν σοί τάς ἐλπίδας, τῆς σωτηρίας μου ἀνέθηκα.

'Ωδή δ'. Εἰσακήκοα Κύριε.

'Υπερόπτης τῶν ἐπιγείων, ἐν τῇ ἐφέσει τῶν οὐρανίων,γεγονώς 'Υπάτιε, οὐρανίου χάριτος, καί σοφίας πλοῦτον ἐτρύγησας.

Μίαν φύσιν ὁμότιμον,τῆς Θεαρχίας Πάτερ κηρύττων,τήν τοῦ 'Αρεί-

www.tezaurliturgic.ro



ου ἄπασαν, ᾔσχυνας δυσσέβειαν, καί τήν Ἐκκλησίαν ἐστήριξας.

Νόμῳ θείῳ λαμπόμενος, τήν τοῦ Ναυάτου παρανομίαν, εἰς τέλος ἐθριάμβευσας, καί νομίμως ἤθλησας, Πάτερ Ἱεράρχα Ὑπάτιε.

Θεοτοκίον.

Ὄρος θεῖον κατάσκιον, ὁ θεηγόρος σε προκηρύττει· ὅτι ἐκ σοῦ ἐπεδήμησε, κόσμῳ ὁ Φιλάνθρωπος, Κόρη καί τούς πάντας διέσωσε.

ᾨδή ε΄. Ἐκ νυκτός ὀρθρίζοντες.

Νοητῶς λαμπόμενος, φωτί τῷ θεϊκῷ, ἐν ταῖς νυξίν Ὑπάτιε, ταῖς ἀκτῖσι θείου Πνεύματος, ἀσφαλῶς τάς πορείας, ἐποίεις μακάριε.

Ὑδάτων τῆς χάριτος, ὡς θεῖος ποταμός, ὕδωρ σοφέ εἰς πότιμον, θαλάσσης μετεποίησας, προσευχῶν σου δυνάμει, παμμάκαρ Ὑπάτιε.

Φωστήρ ὡς πολύφωτος, δογμάτων ἱερῶν, αἱρετικῶν διέλυσας, συνασπισμόν Ὑπάτιε, τῷ φωτί τῷ τοῦ λόγου, καί θαυμάτων χάριτι.

Θεοτοκίον.

Ἀγγελικῶν δυνάμεων, ὡς οὖσα Βασιλίς, τήν ἐν ἐμοί Πανύμνητε, ἁμαρτίαν βασιλεύουσαν, νέκρωσον Θεοτόκε, καί σῶσόν με δέομαι.

ᾨδή στ΄. Τόν Προφήτην Ἰωνᾶν.

Ἱεράρχης εὐκλεής, καί θαυμάτων αὐτουργός, Ἐκκλησίας στηριγμός, καί Μαρτύρων κοινωνός, Ὑπάτιε, σαφῶς ἐδείχθης, τῇ πολιτείᾳ σου.

Νεκρωθείς διά Χριστόν, ταῖς χερσί τῶν δυσσεβῶν, ὡς ὁ πρῶτος Ἀθλητῶν, ὑπέρ τούτων πρός Θεόν, ἐβόησας· Μή στήσῃς τούτοις, τήν ἁμαρτίαν Σωτήρ.

Ὡς λαβών παρά Χριστοῦ, τῶν θαυμάτων τήν ἰσχύν, ἀσπαλάκων φθαρτικῶν, ἐξηφάνισας πληθύν, Ὑπάτιε, ταῖς πρός τόν Κτίστην, Πάτερ ἐντεύξεσι.

Θεοτοκίον.

Γνώμην δίδου μοι ὀρθήν, καί καρδίαν καθαράν, ἵνα πράττω καί ποιῶ, τοῦ Χριστοῦ τάς ἐντολάς, Πανάμωμε, καί τῆς ἀλήκτου, τύχω λαμπρότητος.

www.tezaurliturgic.ro


Κοντάκιον. Ἦχος πλ. β΄. Τήν ὑπέρ ἡμῶν.

Τήν ζωοποιόν, τελέσας ἱερουργίαν, καί τῶν δωρεῶν, τό τάλαντον ἐπαυξήσας, ὡς θυσία προσήχθης, καί κάρπωμα ἔνθεον, δι᾽ἀθλήσεως Ὑπάτιε, τῷ δοξάσαντι τόν βίον σου, τοῖς ἀρρήτοις Πάτερ θαύμασιν. Αὐτόν δυσώπει ἀεί, ὑπέρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ὡς τῇ καρδίᾳ καθαρός, καί ἄμωμος τῷ βίῳ, δικαιοσύνης ἀληθοῦς, ἐργάτης ἀνεδείχθης, ἀποβαλών τῶν γεηρῶν, τό φρόνημα εἰς τέλος˙ καί ἐν φρονήσει ἀληθεῖ πολιτευόμενος, θαυμάτων ἐκοσμήθης δυνάμεσι, καί σοφίας θείας ἐπλήσθης Ὑπάτιε˙ ἔνθεν Ἱεράρχης θεῖος προβληθείς, Ἀποστολικῶς τῇ Ἐκκλησίᾳ διέπρεψας, ἔργῳ καί λόγῳ διαρρυθμίζων τάς διανοίας τῶν πιστῶν, ἐλπίδι τῶν μελλόντων˙ αἱρετικῶν δέ τά ζιζάνια ἐκτίλλων, καί τήν αὐτῶν ἄνοιαν διελέγχων, ὑπ᾽αὐτῶν ἀνῄρησαι, καί αἵματι ἰδίῳ, πρός τά ὄντως ἅγια τῶν ἁγίων εἰσέδραμες, τῷ προσώπῳ τοῦ Χριστοῦ ἐμφανιζόμενος˙ ὅν περ δυσώπει ἀεί, ὑπέρ πάντων ἡμῶν.

Συναξάριον.

Τῇ λα΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Ὑπατίου Ἐπισκόπου Γαγγρῶν.

Στίχ. Κτείνει γυνή βαλοῦσα καιρίαν λίθῳ,
Τόν Ὑπάτιον˙ φεῦ γυναικί ἀθλίᾳ!
Πρώτῃ Ὑπατίῳ βιότου πέρας ἐν τριακοστῇ.

Ὁ ἐν ἁγίοις πατήρ ἡμῶν Ὑπάτιος, ἐκ Κιλίκων ἀνθήσας, ἐν Γάγγραις ἀρχιερατεύσας, ἐν τῇ πρώτῃ Συνόδῳ τῶν τριακοσίων δέκα καί ὀκτώ Θεοφόρων Πατέρων εἷς γεγονώς, ὅλος πεπληρωμένος ἦν Πνεύματος Ἁγίου. Πολλούς δέ πειρασμούς ὑπομείνας, καί σημεῖα διάφορα ἐκτελέσας, γέγονε περιβόητος.

Κωνσταντίου γάρ βασιλεύοντος, τοῦ υἱοῦ τοῦ Μεγάλου Κωνσταντίνου, δράκων τις ποθέν τοῖς βασιλικοῖς ταμείοις προσπελάσας, ἐν οἷς ἅπας ὁ χρυσός ἐφυλάσσετο, καί πρός τῇ εἰσόδῳ αὐτῶν ἐμφωλεύσας, πολλήν ἀθυμίαν τῷ βασιλεῖ προεξένησε, μηδενός ἐκεῖ δυναμένου ὁπωσοῦν πλησιάσαι. Ἐν ἀμηχανίᾳ τοίνυν ὁ Βασιλεύς ὤν, τόν μακάριον τοῦτον προσκαλεῖται˙ ὅν παραγενόμενος, μετά πολλῆς ὑποδεξάμενος τῆς αἰδοῦς, περί τοῦ ἐπεισφρήσαντος ἀπαγγέλλει θηρός. Ὁ δέ Ἅγιος, Εἰ δυνατόν μοι φησίν, ὦ Βασιλεῦ, τοῦ Θεοῦ συνεργοῦντος, οὐ παραιτήσομαι ποιῆσαι τό προταχθέν˙ καί μή ἀθύμει, ὦ Βασιλεῦ˙ τά γάρ παρ᾽ἀνθρώποις ἀδύνατα, τῷ Θεῷ δυνατά.

www.tezaurliturgic.ro



Ταῦτα τοῦ Ἁγίου εἰρηκότος,καί τοῦ δράκοντος πόρρωθεν ἀποδειχθέντος, ὁ Βασιλεύς, Μή ἀσυντηρήτως, ὦ Πάτερ, φησί, τῷ θηρί πλησιάσῃς, καί πείσῃ, ὅπερ καί πολλοί πεπόνθασιν, ἐξ ἐμῶν ἁμαρτιῶν. Καί ὁ μακάριος· Ἡ ἡμετέρα εὐχή,Βασιλεῦ,οὐδέν ἰσχύει πρός ταῦτα, πρός Θεόν δέ σου ἡ πίστις, καί ἡ τούτου μεγάλη καί ἀήττητοςδύναμις. Τότε πεσών ἐπί τῆς γῆς προσηύξατο ἐφ'ὥραν ἱκανήν· καί ἀναστάς, λέγει τῷ Βασιλεῖ· Κέλευσον γενέσθαι μεγάλην πυρκαϊάν μέσον τῆς πλατείας ὁδοῦ, ἐν ᾧ τόπῳ ἡ στήλη τοῦ σοῦ πατρός ἵδρυται· καί οἱ μέλλοντες ταύτην ἀνάπτειν προσμενέτωσαν ἐκεῖ, τήν ἐμήν ἐκδεχόμενοι ἄφιξιν. Καί τοῦ Βασιλέως τοῦτο προστάξαντος, ὁ Ἅγιος εἰσελθών, τάς θύρας τῶν βασιλικῶν ταμείων ἀνέῳξε, καί ἅπαντες ἔφυγον· μήκοθεν δέ τινές ἑστῶτες καί βλέποντες φόβῳ καί τρόμῳ συνείχοντο. Ὁ δέ Ἅγιος,τύπτων τό θηρίον δι'ἧς ἐπεφέρετο ῥάβδου, ἤνυσεν οὐδέν, καί ἡ ἡμέρα ἤδη παρήρχετο, καί πάντες ᾤοντο θανατωθῆναι τόν Ἅγιον. Ἀλλά τό ὄμμα εἰς οὐρανούς ἀνατείνας, καί τόν Κύριον ἐπικαλεσάμενος, τήν ῥάβδον τῷ στόματι τοῦ θηρίου ἐμβαλών, εἶπεν· Ἐν ὀνόματι τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ, ἀκολούθει μοι. Καί ὁ δράκων,ἐνδακών τήν ῥάβδον, ἠκολούθει τῷ Ἁγίῳ ὡς ὑπό τινος διωκόμενος.

Ὁ γοῦν μακάριος ἐξελθών ἀπό τῶν βασιλείων, καί πᾶσαν τήν λεωφόρον διοδεύσας μέχρι τοῦ φόρου, τήν ῥάβδον ἕλκων ἐπί τῆς γῆς, δι'ἧς καί τόν δράκοντα, τό ἄκρον ἐνδακόντα τῆς ῥάβδου καί συρόμενον ὑπ'αὐτῆς, ἐξέπληξεν ἅπαντας. Ἦν γάρ φοβερός ὁ δράκων τήν θέαν, ἑξήκοντα πήχεις ἔχων τό μῆκος,ὡς ἔλεγον. Καί πλησιάσας ὁ Ἅγιος τῇ πυρκαϊᾷ, φησί πρός τόν δράκοντα· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ὅν ἐγώ ὁ ἐλάχιστος κηρύσσω, εἴσελθε μέσον τῆς πυρκαϊᾶς. Ὁ δέ φοβερός ἐκεῖνος δράκων, καμάρας εἶδος ποιήσας, καί ὑποκυρτώσας ἑαυτόν, καί μέγα ἐκταθείς, ἔρριψεν ἑαυτόν ἐν μέσῳ τοῦ πυρός, καί παρανάλωμα τούτου γέγονε. Καί πάντες δοξάζοντες καί εὐλογοῦντες τόν Θεόν, ἐξεπλάγησαν, ὅτι τοιοῦτον φωστῆρα καί θαυματουργόν ἀνέδειξεν αὐτοῖς ἐν ταῖς ἡμέραις αὐτῶν. Τότε ὁ Βασιλεύς τόν Ἅγιον διαφερόντως τιμήσας καί εὐχαριστήσας, τόν χαρακτῆρα τῆς ὄψεως αὐτοῦ ἐκέλευσε σανίδι ἐντυπώσασθαι. Καί τούτου γενομένου, ἐν τῷ βασιλικῷ ταμείῳ τοῦτον ἀπέθετο, εἰς ἀποτροπήν παντός ἐναντίου. Τόν Ἅγιον οὖν κατασπασάμενος, ἀπέστειλεν οἴκαδε.

Μετά δέ τό ἐξελθεῖν τόν Ἅγιον ἐκ τῆς Πόλεως, καί πρός τόν οἰκεῖον ἀφικέσθαι θρόνον, οἱ τῆς Ναυάτου αἱρέσεως φθόνον πολύν ὠδινήσαντες κατ'αὐτοῦ, ἐν οἷς εἰώθει ὁ ἀοίδιμος διέρχεσθαι στενωποῖς καί κρη-

www.tezaurliturgic.ro



μνώδεσι τόποις παρακαθήσαντες, έγκεκρυμμένοι σύν ροπάλοις καί ξίφεσι, τοῦ μακαρίου έκείνου διερχομένου, αίφνιδόν ὡς ἄγριοι έπαναστάντες έκ τῆς ένέδρας, ὁ μέν ξύλῳ, ὁ δέ λίθῳ, ἕτερος ξίφει, κατά τοῦ κρημνοῦ τόν Ἅγιον ἠκόντιζον. Καί ρίψαντες άπό τοῦ μεγάλου ὕψους έπί τόν κρημνόν, ούκ όλίγας αύτῷ πληγάς έπέθεντο, ὡς πρίν οἱ Ἰουδαῖοι τῷ Πρωτομάρτυρι Στεφάνῳ. Ὁ δέ Ἅγιος έν τῷ ποταμῷ ριφθείς ἡμιθανής, τάς χεῖρας μικρόν ὑφαπλώσας, καί τούς όφθαλμούς πρός ούρανόν διάρας, Κύριε, μή στήσῃς αύτοῖς, ἔλεγε, τήν ἁμαρτίαν ταύτην. Καί ἔτι αύτοῦ προσευχομένου, γυνή τις έναγής καί άκάθαρτος, λίθον ἄρασα μέγαν, καί τόν κρόταφον τοῦ Ἁγίου κρούσασα, τό λειπόμενον τῆς ζωῆς αύτοῦ άφείλετο ἡ δυστυχής καί ταλαίπωρος. Καί ἡ μέν τούτου ἁγία ψυχή έν χερσίν ἦν Θεοῦ· ἡ δέ έναγής έκείνη γυνή, πονηρῷ πνεύματι ληφθεῖσα, διά τοῦ αύτοῦ λίθου τό ἴδιον ἔτυπτε στῆθος. Ὡσαύτως δέ καί πάντες, οἱ τοῦ φόνου κοινωνήσαντες, ὑπό άκαθάρτων πνευμάτων έπαιδεύοντο. Τό δέ λείψανον τοῦ Ἁγίου, έν άχυρῶνι τινί κρύψαντες, άνεχώρησαν· άλλ'ὁ γεωργός, οὗ ὁ άχυρών ἦν, είσελθών έπί τῷ δοῦναι τροφήν τοῖς ἑαυτοῦ ζώοις, άκούσας ούρανίων ᾀσμάτων δοξολογίαν, μηνυτής γέγονε τοῦ μακαρίου Πατρός.

Τοῦτο άναμαθόντες οἱ οίκήτορες τῆς πόλεως Γαγγρῶν, συνήχθησαν έκεῖσε, καί κοινῇ θρηνήσαντες, ἔλαβον τό ἅγιον Λείψανον· καί άνακομίσαντες τῇ ἑαυτῶν πόλει, κατέθεντο έν έπισήμῳ τόπῳ. Ἡ δέ γυνή έλθοῦσα, καί τύπτουσα ἑαυτήν τῷ λίθῳ, δι'οὗ τόν Ἅγιον ἔκτεινε, τοῦ θείου Λειψάνου κατατεθέντος, εύθέως ίάθη, ὡσαύτως καί οἱ λοιποί τοῦ Ἁγίου φονεῖς, καί ἑτέρων πολλῶν έν τῇ τοῦ Ἁγίου κηδείᾳ τελεσθέντων θαυμάτων.

Ταῖς αύτοῦ πρεσβείαις,Χριστέ ὁ Θεός,έλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Τούς έν καμίνῳ.

Ἐν τῇ δυνάμει Πάτερ τοῦ Χριστοῦ, τελῶν τά τεράστια, πρός έπίγνωσιν αύτοῦ, τούς πρίν έν σκότει πλάνης καθεύδοντας, ἴθυνας πιστῶς κραυγάζοντας· Εύλογητός ὁ Θεός,ὁ τῶν Πατέρων ἡμῶν.

Ρείθροις σοφέ τῶν θείων διδαχῶν, αἱρέσεων ἔσβεσας,τό πῦρ τό χαλεπόν, ψυχάς δέ τῶν εύσεβῶν κατήρδευσας, φέρειν τούς καρπούς τῆς πίστεως, καί μεγαλύνειν Χριστόν, τόν τῶν Πατέρων Θεόν.

Ἀνατολαῖς τῶν ἔργων σου σοφέ, ὡς ἥλιος πάμφωτος, φωτίζεις πᾶ-

www.tezaurliturgic.ro



σαν γῆν· καί δύσας τῇ ἀθλήσει ἀνέτειλας, Πάτερ πρός τό φῶς τό ἄδυτον, καί κατοπτεύεις Χριστόν, τόν τῆς ζωῆς χορηγόν.

Θεοτοκίον.

Σεσαρκωμένον τέτοκας ἡμῖν, τόν πρίν ἀθεώρητον, καί ἄσαρκον Θεόν· ὅν ἐκδυσώπει ἐκτενῶς Δέσποινα, δοῦναι ὀφλημάτων ἄφεσιν, τοῖς ἀνυμνοῦσι πιστῶς, τά μεγαλεῖα τά σά.

Ὠδή η΄. Ὅν φρίττουσιν Ἄγγελοι.

Ἱέρευσας Ὅσιε, ὡς ἄγγελος Χριστοῦ, καί τούτῳ προσήνεξαι, ὡς θῦμα καθαρόν, κτανθείς Ἱεράρχα, ὑπ᾽ἀνόμων ἀνδρῶν, μή φερόντων Πάτερ, τήν θείαν διδαχήν σου.

Μετέβαλες Ὅσιε, ὕδωρ τό ἁλμυρόν, καί θαύματα μέγιστα, τελῶν θείᾳ ῥοπῇ, προσήγαγες πλήθη, σεσωσμένων Χριστῷ, Ὑπάτιε παμμάκαρ, ὡς θεῖος Ἱεράρχης.

Ὁ μέγας Ὑπάτιος, φωστήρ ὁ τῶν πιστῶν, ὁ λάμψας τοῖς πέρασι, θαυμάτων ἀστραπαῖς, βαλλόμενος λίθοις, ὑπ᾽ἀνόμων λαῶν, λίθος ἀνεδείχθη, Χριστοῦ τῆς Ἐκκλησίας.

Θεοτοκίον.

Ὑμνοῦμεν τό μέγα, μυστήριον τῆς σῆς, κυήσεως Ἄχραντε, ἐν πίστει ἀληθεῖ· Θεόν γάρ ἀφράστως, κυήσασα ἡμῖν, ἔλυσας τήν πάλαι, κατάραν τῶν ἀνθρώπων.

Ὠδή θ΄. Τήν φωτοφόρον νεφέλην.

Ἀγγελικαῖς ὑμνῳδίαις, δορυφορούμενον Πάτερ, τό λείψανόν σου τό σεπτόν, τοῖς πιστοῖς ἐπεγνώσθη, ὅπερ λαβόντες εὐλαβῶς, ὁσίως ἐκήδευσαν Ὑπάτιε, ἐξ οὗ ἄφθονος χάρις, ἰαμάτων ἔρρει πᾶσι θαυμαστῶς.

Μαρτυρικῶς ἐκδημήσας, πρός τήν ζωήν τήν ἀγήρω, ὁρᾷς τό πρόσωπον Χριστοῦ, καί τό ἄφραστον κάλλος, τούς φονευτάς σου δέ σοφέ, πολλοῖς ἐτασμοῖς Χριστός ἐπαίδευσεν, ἵνα γνῶσιν οἱ πάντες, τήν λαμπρότητα ζωῆς σου τῆς σεπτῆς.

Ἡ παναγία σου μνήμη, ἐπιδημήσασα κόσμῳ, καθαγιάζει τάς ψυχάς, τῶν τιμώντων σε Πάτερ, ἐν ᾗ ὑμνοῦμεν οἱ πιστοί, τούς θείους ἀγῶνάς

www.tezaurliturgic.ro



σου 'Υπάτιε, ἀλλ'ἐξαίτει τοῖς πᾶσιν, ἱλασμόν ἁμαρτιῶν καί θεῖον φῶς.

Θεοτοκίον.

Νενεκρωμένον με πάσαις, ταῖς τοῦ ἐχθροῦ μεθοδείαις, ἐξέγειρον πρός ἀληθοῦς, μετανοίας τά ἔργα, καί ῥῦσαί με πάσης φθορᾶς, ζωήν ἡ τεκοῦσα τήν αἰώνιον, Θεοτόκε Παρθένε, τήν νεκρώσασαν θανάτου τήν ἰσχύν.

'Εξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

'Αρχιερεύς θεόληπτος, 'Υπάτιε γενόμενος, ἀγγελικῇ πολιτείᾳ, διέλαμψας τοῖς ἐν κόσμῳ, καί μαρτυρίου σκάμμασι, τήν σήν ζωήν ἐσφράγισας, 'Ιερομάρτυς ἔνδοξε· διό λαμπρῶς ἐδοξάσθης, παρά Χριστοῦ τοῦ Σωτῆρος.

Θεοτοκίον.

'Αγγέλων ἀγαλλίαμα, καί τῶν βροτῶν διάσωσμα, τόν Βασιλέα τῆς δόξης, κυήσασα ἀνεδείχθης, Παρθένε Παναμώμητε, κυρία πάσης κτίσεως· διό κυριευθέντα με, ὑπό πικρᾶς ἁμαρτίας, διάσωσον δυσωπῶ σε.

Εἰς τούς Αἴνους.

'Ιστῶμεν Στίχους δ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια τοῦ 'Αγίου.

Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ θεόφρον 'Υπάτιε, ἐν ἐγκρατείᾳ καλῶς, ἐκτραφείς εἰς περίδοξον, ἀρετῶν ἀνέδραμες, ὕψος ἀνατεινόμενος, πρός θεωρίαν τήν ὑπέρ ἔννοιαν, Χριστοῦ τό κάλλος κατοπτριζόμενος· οὗ ταῖς ἐλλάμψεσι, νοῦν τε καί διάνοιαν, καταυγασθείς, πᾶσιν ἐναπήστραψας, θαυμάτων χάριτας.

Πάτερ Πατέρων 'Υπάτιε, 'Ορθοδοξίας φωτί, ἀπαστράψας κατηύγασας, διανοίας Ὅσιε, τῶν πιστῶς προστρεχόντων σοι, καί τάς 'Αρείου κόρας ἠμαύρωσας, ἀποκηρύξας τῆς 'Εκκλησίας Χριστοῦ. Ὅθεν φωστῆρά σε, κεκτημένοι μέγιστον, τήν ἱεράν, μνήμην σου γεραίρομεν, καί μακαρίζομεν.

Πάτερ ἱερέ 'Υπάτιε, τόν Βασιλέα Χριστόν, ὅν τρανῶς ἀνεκήρυξας, Πατρί ὁμοούσιον, ἔχων ἐν τῇ καρδίᾳ σου, τάς τῶν θαυμάτων ἀκτῖνας ἔλαμψας, φωταγωγήσας πᾶσαν ὑφήλιον· δράκοντα ἔκτεινας, καί θερμῶν ἀνάβλυσιν, σαῖς προσευχαῖς, ὑδάτων πεποίηκας· διό τιμῶμέν σε.

www.tezaurliturgic.ro


Πάτερ παμμάκαρ Ὑπάτιε, ὑπό χειρῶν δυσσεβῶν, ὡς ἐκτάνθης ἀνέδραμες, πρός τά ἐπουράνια, μετά δόξης σκηνώματα, τό δέ σεπτόν σου καί θεῖον λείψανον, πηγάς θαυμάτων πᾶσιν ἀνέβλυσεν. Ὅθεν ὑμνοῦμέν σε, ὡς Ἱερομάρτυρα, μέγαν Χριστοῦ, καί μεσίτην ἔνθεον, ἡμῶν πρός Κύριον.

Δόξα. Ἦχος πλ. δ'.

Τῆς ἐν Χριστῷ ἱερουργίας, καλῶς τελέσας τήν λειτουργίαν, ἰδίῳ αἵματι ἐσφράγισας, τῆς ἀληθείας τό κράτος Ὅσιε· προθύμως γάρ τέθεικας, τήν ζωήν Ἱεράρχα, Ἀποστολικῷ ζήλῳ προϊστάμενος, τῶν δογμάτων τῆς πίστεως· καί μαρτυρικῆς εὐκλείας ἀξιωθείς, λαμπροτέραν ἔδειξας, τήν ἱερωσύνην τοῖς ἄθλοις σου. Καί νῦν Ἱερομάρτυς Ὑπάτιε, τῇ Ἁγίᾳ Τριάδι πρέσβευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Τά οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ ἀνύμφευτε, καί ἡμεῖς δοξολογοῦμεν τήν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τάς ψυχάς ἡμῶν.

Δοξολογία μεγάλη καί Ἀπόλυσις.

* * *

Εἰς τήν Λειτουργίαν.

Τά συνήθη. Τελεῖται δέ Προηγιασμένη, ἐν ᾗ μετά τόν Προοιμιακόν, τά, Πρός Κύριον, εἰς δέ τό, Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους ι', καί ψάλλομεν τοῦ Τριῳδίου στ' ἤτοι τό Ἰδιόμελον τῶν Ἀποστίχων δίς, τό Μαρτυρικόν, καί γ' τοῦ Ἑσπερινοῦ, τοῦ δέ Ἁγίου δ' ἤ τά γ' τοῦ Ἑσπερινοῦ, Πάτερ Ὑπάτιε... ποιοῦντες αὐτά δ'. Δόξα, τοῦ Ἁγίου, Θεοπρεπεῖ πολιτείᾳ ἐμπρέπων... Καί νῦν. Θεοτοκίον. Δέσποινα πρόσδεξαι... κ.λ.π. Μετά τά Ἀναγνώσματα τοῦ Τριῳδίου καί τό, Κατευθυνθήτω...ἀμέσως ὁ Ἀπόστολος τοῦ Ἁγίου, ὅνπερ ζήτει τῇ στ' Νοεμβρίου, Εὐαγγέλιον δέ, Ὑμεῖς ἐστέ τό φῶς τοῦ κόσμου... ζήτει αὐτό τῇ ιη' Ἰανουαρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις Ἀποστόλων ὁ μιμητής, Ὑπάτιε Πάτερ, καί Μαρτύρων ὁ κοινωνός· χαίροις ὁ πηγάζων, θαυμάτων θεῖα ῥεῖθρα, τοῖς πίστει προσιοῦσι, τῇ προστασίᾳ σου.

* * *

Δίστιχον. Ὑπάτιε αἴνεσιν θείαν σοι ᾄδει,
Γεράσιμος ᾧπερ σήν βράβευε χάριν.